ἡγουμένῳ χαλεπὸν εἶναι φιλίαν συμμένειν, καὶ ἄλλῳ μὲν
τρόπῳ διαφορᾶς γενομένης κοινὴν ⟨ἂν⟩ ἀμφοτέροις κατα-
στῆναι τὴν συμφοράν, προεμένου δέ σου ἃ περὶ πλείστου c
ποιεῖ μεγάλην ἄν σοι βλάβην γενέσθαι, εἰκότως ἂν τοὺς
ἐρῶντας μᾶλλον φοβοῖο· πολλὰ γὰρ αὐτούς ἐστι τὰ
λυποῦντα, καὶ πάντ᾽ ἐπὶ τῇ αὑτῶν βλάβῃ νομίζουσι
γίγνεσθαι. Διόπερ καὶ τὰς πρὸς τοὺς ἄλλους τῶν ἐρωμένων
συνουσίας ἀποτρέπουσιν, φοβούμενοι τοὺς μὲν οὐσίαν
κεκτημένους, μὴ χρήμασιν αὐτοὺς ὑπερβάλωνται, τοὺς δὲ
πεπαιδευμένους, μὴ συνέσει κρείττους γένωνται· τῶν δὲ
ἄλλο τι κεκτημένων ἀγαθὸν τὴν δύναμιν ἑκάστου φυλάτ-
τονται. Πείσαντες μὲν οὖν ἀπέχεσθαί σε τούτων εἰς d
ἐρημίαν φίλων καθιστᾶσιν, ἐὰν δὲ τὸ σεαυτοῦ σκοπῶν
ἄμεινον ἐκείνων φρονῇς, ἥξεις αὐτοῖς εἰς διαφοράν· ὅσοι
δὲ μὴ ἐρῶντες ἔτυχον, ἀλλὰ δι᾽ ἀρετὴν ἔπραξαν ὧν
ἐδέοντο, οὐκ ἂν τοῖς συνοῦσι φθονοῖεν, ἀλλὰ τοὺς μὴ
ἐθέλοντας μισοῖεν, ἡγούμενοι ὑπ᾽ ἐκείνων μὲν ὑπερορᾶσθαι,
ὑπὸ τῶν συνόντων δὲ ὠφελεῖσθαι, ὥστε πολὺ πλείων
ἐλπὶς φιλίαν αὐτοῖς ἐκ τοῦ πράγματος ἢ ἔχθραν γενέσθαι. e

Καὶ μὲν δὴ τῶν μὲν ἐρώντων πολλοὶ πρότερον τοῦ
σώματος ἐπεθύμησαν ἢ τὸν τρόπον ἔγνωσαν καὶ τῶν ἄλλων
οἰκείων ἔμπειροι ἐγένοντο, ὥστε ἄδηλον αὐτοῖς εἰ ἔτι τότε
βουλήσονται φίλοι εἶναι, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται· 233
τοῖς δὲ μὴ ἐρῶσιν, οἳ καὶ πρότερον ἀλλήλοις φίλοι ὄντες
ταῦτα ἔπραξαν, οὐκ ἐξ ὧν ἂν εὖ πάθωσι ταῦτα εἰκὸς
ἐλάττω τὴν φιλίαν αὐτοῖς ποιῆσαι, ἀλλὰ ταῦτα μνημεῖα
καταλειφθῆναι τῶν μελλόντων ἔσεσθαι. Καὶ μὲν δὴ βελτίονί
σοι προσήκει γενέσθαι ἐμοὶ πειθομένῳ ἢ ἐραστῇ. Ἐκεῖνοι
μὲν γὰρ καὶ παρὰ τὸ βέλτιστον τά τε λεγόμενα καὶ τὰ
πραττόμενα ἐπαινοῦσιν, τὰ μὲν δεδιότες μὴ ἀπέχθωνται,
τὰ δὲ καὶ αὐτοὶ χεῖρον διὰ τὴν ἐπιθυμίαν γιγνώσκοντες. b

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416183085/161 UNIVERSITÄT LEIPZIG